Θ. Εἴ τις δὲ χυμὸν τοῖον ἀντισπᾷν θέλει
τόπους ἐς ἄλλους, θᾶσσον εἰς ἐσωτέρους
τοῦτον μετοίσει τῇ φλεβὸς δήπου σχάσει·
κενούμενος γὰρ μηδαμῶς οὐδ' ἀθρόος,
τοῦ πρὶν δὲ μᾶλλον ἐκμοχλούμενος τόπου,
δινούμενος κύκλῳ δὲ πολλῷ σὺν τάχει,
χυμοῖσι μὲν ξύμπασι συμπεφυρμένος,
ὁρμῇ βιαίᾳ πυρετοῦ δ' ἠπειγμένος,
ῥᾷσ' ἀδρανεστέροισιν ἐνσκήψει τόποις
σομφώδεσι σπλάγχνοισι καὶ χαύνοις πλέον,
οἷς μεῖον ἐστιν ἀντερείσεως σθένος,
ἢ τοῖσιν ἐκτὸς πολλὸν εὐδρανεστέροις,
οἷσι πρόσεστιν ἀντερείσεως ἅλις.
χ' οὕτω τις οὐδὲν ὠφελήσει τῷδ' ἄκει·
δεινὴν δὲ μᾶλλον φλεγμονὴν μεταστάσει
τοιᾷδε χυμῶν δριμέων θεὶς αὐτίκα
σπλάγχνοισι χαύνοις κἀδρανεστέροις τόποις,
νόσον τ' ἐγείρας τῆς πρὶν ἐξηλλαγμένην
μακρῷ τε χείρω μεῖζον ἤνεγκε βλάβος·
ὃ πεῖρα τ' ἐνδείκνυσιν, οὐ λόγος μόνος.

I. Πῶς οὖν ὀνήσει τῷδ' ἀκεσμοῦ τῷ τρόπῳ
φρουδῷ τε καὶ νόσοισι ταῖσδ' ἀσυμφόρῳ;
τοίῳ δ' ἀκεσμῷ τίς ποτ' ἂν χρήσαιτό που
ὀνήσεως ἄτερ τε καὶ λόγου δίχα;
πλὴν εἴ τις αὔξειν τὰς νόσους μᾶλλον θέλοι
ἐξασθενῶν μὲν τῇ κενώσει τὴν φύσιν

σπεύ-